# A Call to Faithfulness

Hebrews 3:1-6




῞Οθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι,
κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας
ἡμῶν ᾿Ιησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν ὡς
καὶ Μωϋσῆς ἐν [ὅλῳ] τῷ οἴκῳ αὐτοῦ. (Heb. 3:1-2)




πλείονος γὰρ οὗτος δόξης παρὰ Μωϋσῆν ἠξίωται καθ᾽ ὅσον
πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν.
πᾶς γάρ οἶκος κατασκευάζεται ὑπό τινος, ὁ δὲ πάντα
κατασκευάσας θεός. (Heb. 3:3-4)




καὶ Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτου
ὡς θεράπων· εἰς μαρτύριον τῶν λαληθησομένων,
Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ·
οὗ οἶκός ἐσμεν ἡμεῖς, ἐάν[περ] τὴν παρρησίαν
καὶ τὸ καύχημα τῆς ἐλπίδος κατάσχωμεν. (Heb. 3:5-6)